‘ἀλλ’ οὐράνιόν’ ἐστιν, ὥσπερ ἐκ ῥίζης τὸ σῶμα τῆς κεφαλῆς ὀρθὸν ἱστάσης πρὸς τὸν οὐρανὸν ἀνεστραμμένον. ὅθεν εὖ μὲν ὁ Ἡρακλῆς εἶπεν (Trag. adesp. 392)

‘Ἀργεῖος ἢ Θηβαῖος· οὐ γὰρ εὔχομαι
μιᾶς· ἅπας μοι πύργος Ἑλλήνων πατρίς.’

ὁ δὲ Σωκράτης βέλτιον, οὐκ Ἀθηναῖος οὐδ’ Ἕλλην ἀλλὰ κόσμιος εἶναι φήσας, ὡς ἄν τις Ῥόδιος εἶπεν ἢ Κορίν-
601 θιος, | ὅτι μηδὲ Σουνίῳ μηδὲ Ταινάρῳ μηδὲ τοῖς Κεραυ-
νίοις ἐνέκλεισεν ἑαυτόν.

‘ὁρᾷς τὸν ὑψοῦ τόνδ’ ἄπειρον αἰθέρα,
καὶ γῆν πέριξ ἔχονθ’ ὑγραῖς ⟨ἐν⟩ ἀγκάλαις;’
(Eur. fr. 941, 1. 2)

οὗτοι τῆς πατρίδος ἡμῶν ὅροι [εἰσί], καὶ οὐδεὶς οὔτε φυγὰς ἐν τούτοις οὔτε ξένος οὔτ’ ἀλλοδαπός, ὅπου τὸ αὐτὸ πῦρ ὕδωρ ἀήρ, ἄρχοντες οἱ αὐτοὶ καὶ διοικηταὶ καὶ πρυτάνεις ἥλιος σελήνη φωσφόρος· οἱ αὐτοὶ νόμοι πᾶσι, ὑφ’ ἑνὸς προστάγματος καὶ μιᾶς ἡγεμονίας τροπαὶ βόρειοι τροπαὶ νότιοι ἰσημερίαι Πλειὰς Ἀρκτοῦρος ὧραι σπόρων
B ὧραι φυτειῶν· εἷς δὲ βασιλεὺς καὶ ἄρχων· ‘θεὸς ἀρχήν τε
καὶ μέσα καὶ τελευτὴν ἔχων τοῦ παντὸς εὐθείᾳ περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δ’ ἕπεται Δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός’ (Plat. Legg. 716 a), ᾗ χρώμεθα πάντες ἄνθρωποι φύσει πρὸς πάντας ἀνθρώπους ὥσπερ πολίτας. (6.) τὸ δέ σε μὴ κατοικεῖν Σάρδεις